# ΚΑΤΑ ΙΩΑΝΝΗΝ

**1:1** Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ
λόγος. **2** οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν. **3** πάντα δι’ αὐτοῦ ἐγένετο, καὶ χωρὶς
αὐτοῦ ἐγένετο οὐδὲ ἕν. ὃ γέγονεν **4** ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν
ἀνθρώπων· **5** καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν.

**6** Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης·
**7** οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός, ἵνα πάντες
πιστεύσωσιν δι’ αὐτοῦ. **8** οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ’ ἵνα μαρτυρήσῃ περὶ τοῦ
φωτός. **9** ἦν τὸ φῶς τὸ ἀληθινὸν ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν
κόσμον.

**10** Ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι’ αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν
οὐκ ἔγνω. **11** εἰς τὰ ἴδια ἦλθεν, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. **12** ὅσοι δὲ
ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν
εἰς τὸ ὄνομα αὐτοῦ, **13** οἳ οὐκ ἐξ αἱμάτων οὐδὲ ἐκ θελήματος σαρκὸς οὐδὲ ἐκ
θελήματος ἀνδρὸς ἀλλ’ ἐκ θεοῦ ἐγεννήθησαν.

**14** Καὶ ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ ἐθεασάμεθα τὴν
δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρός, πλήρης χάριτος καὶ ἀληθείας·
**15** (Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ καὶ κέκραγεν λέγων· Οὗτος ἦν ⸂ὃν εἶπον⸃·
Ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν·) **16** ⸀ὅτι
ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ χάριτος·
**17** ὅτι ὁ νόμος διὰ Μωϋσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ
ἐγένετο. **18** θεὸν οὐδεὶς ἑώρακεν πώποτε· ⸂μονογενὴς θεὸς⸃ ὁ ὢν εἰς τὸν κόλπον
τοῦ πατρὸς ἐκεῖνος ἐξηγήσατο.

**19** Καὶ αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ Ἰωάννου ὅτε ⸀ἀπέστειλαν οἱ Ἰουδαῖοι
ἐξ Ἱεροσολύμων ἱερεῖς καὶ Λευίτας ἵνα ἐρωτήσωσιν αὐτόν· Σὺ τίς εἶ; **20** καὶ
ὡμολόγησεν καὶ οὐκ ἠρνήσατο, καὶ ὡμολόγησεν ὅτι ⸂Ἐγὼ οὐκ εἰμὶ⸃ ὁ

---

**1:15 ὃν εἶπον** Treg NIV RP ] ὁ εἰπών WH **16 ὅτι** WH Treg NIV ] Καὶ RP **18 μονογενὴς θεὸς** WH Treg NIV ] ὁ μονογενὴς υἱός RP **19 ἀπέστειλαν** NIV RP ] + πρὸς αὐτὸν WH Treg NA **20 Ἐγὼ οὐκ εἰμὶ** WH Treg NIV ] Οὐκ εἰμὶ ἐγὼ RP

χριστός. **21** καὶ ἠρώτησαν αὐτόν· Τί οὖν; ⸂σὺ Ἠλίας εἶ⸃; καὶ λέγει· Οὐκ εἰμί. Ὁ προφήτης εἶ σύ; καὶ ἀπεκρίθη· Οὔ. **22** εἶπαν οὖν αὐτῷ· Τίς εἶ; ἵνα ἀπόκρισιν δῶμεν τοῖς πέμψασιν ἡμᾶς· τί λέγεις περὶ σεαυτοῦ; **23** ἔφη· Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Εὐθύνατε τὴν ὁδὸν κυρίου, καθὼς εἶπεν Ἠσαΐας ὁ προφήτης.

**24** ⸀Καὶ ἀπεσταλμένοι ἦσαν ἐκ τῶν Φαρισαίων. **25** καὶ ἠρώτησαν αὐτὸν καὶ εἶπαν αὐτῷ· Τί οὖν βαπτίζεις εἰ σὺ οὐκ εἶ ὁ χριστὸς ⸂οὐδὲ Ἠλίας οὐδὲ⸃ ὁ προφήτης; **26** ἀπεκρίθη αὐτοῖς ὁ Ἰωάννης λέγων· Ἐγὼ βαπτίζω ἐν ὕδατι· ⸀μέσος ὑμῶν ⸀ἕστηκεν ὃν ὑμεῖς οὐκ οἴδατε, **27** ⸀ὁ ὀπίσω μου ⸀ἐρχόμενος, οὗ ⸂οὐκ εἰμὶ⸃ ἄξιος ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος. **28** ταῦτα ἐν Βηθανίᾳ ἐγένετο πέραν τοῦ Ἰορδάνου, ὅπου ἦν ⸀ὁ Ἰωάννης βαπτίζων.

**29** Τῇ ἐπαύριον βλέπει τὸν Ἰησοῦν ἐρχόμενον πρὸς αὐτόν, καὶ λέγει· Ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. **30** οὗτός ἐστιν ⸀ὑπὲρ οὗ ἐγὼ εἶπον· Ὀπίσω μου ἔρχεται ἀνὴρ ὃς ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν· **31** κἀγὼ οὐκ ᾔδειν αὐτόν, ἀλλ' ἵνα φανερωθῇ τῷ Ἰσραὴλ διὰ τοῦτο ἦλθον ἐγὼ ⸀ἐν ὕδατι βαπτίζων. **32** καὶ ἐμαρτύρησεν Ἰωάννης λέγων ὅτι Τεθέαμαι τὸ πνεῦμα καταβαῖνον ⸀ὡς περιστερὰν ἐξ οὐρανοῦ, καὶ ἔμεινεν ἐπ' αὐτόν· **33** κἀγὼ οὐκ ᾔδειν αὐτόν, ἀλλ' ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι ἐκεῖνός μοι εἶπεν· Ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' αὐτόν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν πνεύματι ἁγίῳ· **34** κἀγὼ ἑώρακα, καὶ μεμαρτύρηκα ὅτι οὗτός ἐστιν ὁ ⸀ἐκλεκτὸς τοῦ θεοῦ.

**35** Τῇ ἐπαύριον πάλιν εἱστήκει ⸀ὁ Ἰωάννης καὶ ἐκ τῶν μαθητῶν αὐτοῦ δύο, **36** καὶ ἐμβλέψας τῷ Ἰησοῦ περιπατοῦντι λέγει· Ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ. **37** καὶ ἤκουσαν ⸂οἱ δύο μαθηταὶ αὐτοῦ⸃ λαλοῦντος καὶ ἠκολούθησαν τῷ Ἰησοῦ. **38** στραφεὶς δὲ ὁ Ἰησοῦς καὶ θεασάμενος αὐτοὺς ἀκολουθοῦντας λέγει αὐτοῖς· Τί ζητεῖτε; οἱ δὲ εἶπαν αὐτῷ· Ῥαββί (ὃ λέγεται ⸀μεθερμηνευόμενον

---

**1:21** **σὺ Ἠλίας εἶ** WH Treg NIV ] Ἠλίας εἶ σύ RP **24** **Καὶ** WH Treg NIV ] + οἱ RP **25** **οὐδὲ … οὐδὲ** WH Treg NIV ] οὔτε … οὔτε RP **26** **μέσος** WH Treg NA ] + δὲ NIV RP • **ἕστηκεν** NIV RP ] στήκει WH Treg **27** **ὁ** Treg NIV] – WH; αὐτός ἐστιν ὁ RP • **ἐρχόμενος** WH Treg NIV ] + ὃς ἔμπροσθέν μου γέγονεν RP • **οὐκ εἰμὶ** Holmes WH$^{marg}$ ] οὐκ εἰμὶ ἐγὼ WH Treg NIV; ἐγὼ οὐκ εἰμὶ RP **28** **ὁ** WH Treg NIV ] – RP **30** **ὑπὲρ** WH Treg NIV ] περὶ RP **31** **ἐν** WH Treg NIV ] + τῷ RP **32** **ὡς** WH Treg NIV ] ὡσεὶ RP **34** **ἐκλεκτὸς** Holmes WH$^{marg}$ ] υἱὸς WH Treg NIV RP **35** **ὁ** NIV RP ] – WH Treg **37** **οἱ δύο μαθηταὶ αὐτοῦ** WH Treg NIV ] αὐτοῦ οἱ δύο μαθηταὶ RP **38** **μεθερμηνευόμενον** WH Treg NIV ] ἑρμηνευόμενον RP

Διδάσκαλε), ποῦ μένεις; **39** λέγει αὐτοῖς· Ἔρχεσθε καὶ ⸂ὄψεσθε. ἦλθαν οὖν⸃
καὶ εἶδαν ποῦ μένει, καὶ παρ' αὐτῷ ἔμειναν τὴν ἡμέραν ἐκείνην· ὥρα ἦν
ὡς δεκάτη. **40** ἦν Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου εἷς ἐκ τῶν δύο τῶν
ἀκουσάντων παρὰ Ἰωάννου καὶ ἀκολουθησάντων αὐτῷ· **41** εὑρίσκει οὗτος
⸀πρῶτον τὸν ἀδελφὸν τὸν ἴδιον Σίμωνα καὶ λέγει αὐτῷ· Εὑρήκαμεν τὸν
Μεσσίαν (ὅ ἐστιν μεθερμηνευόμενον χριστός). **42** ⸀ἤγαγεν αὐτὸν πρὸς τὸν
Ἰησοῦν. ἐμβλέψας αὐτῷ ὁ Ἰησοῦς εἶπεν· Σὺ εἶ Σίμων ὁ υἱὸς ⸀Ἰωάννου, σὺ
κληθήσῃ Κηφᾶς (ὃ ἑρμηνεύεται Πέτρος).

**43** Τῇ ἐπαύριον ἠθέλησεν ἐξελθεῖν εἰς τὴν Γαλιλαίαν. καὶ εὑρίσκει
Φίλιππον καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἀκολούθει μοι. **44** ἦν δὲ ὁ Φίλιππος ἀπὸ
Βηθσαϊδά, ἐκ τῆς πόλεως Ἀνδρέου καὶ Πέτρου. **45** εὑρίσκει Φίλιππος τὸν
Ναθαναὴλ καὶ λέγει αὐτῷ· Ὃν ἔγραψεν Μωϋσῆς ἐν τῷ νόμῳ καὶ οἱ προφῆται
εὑρήκαμεν, ⸀Ἰησοῦν υἱὸν τοῦ Ἰωσὴφ τὸν ἀπὸ Ναζαρέτ. **46** καὶ εἶπεν αὐτῷ
Ναθαναήλ· Ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι; λέγει αὐτῷ ⸀ὁ Φίλιππος·
Ἔρχου καὶ ἴδε. **47** εἶδεν ⸀ὁ Ἰησοῦς τὸν Ναθαναὴλ ἐρχόμενον πρὸς αὐτὸν καὶ
λέγει περὶ αὐτοῦ· Ἴδε ἀληθῶς Ἰσραηλίτης ἐν ᾧ δόλος οὐκ ἔστιν. **48** λέγει
αὐτῷ Ναθαναήλ· Πόθεν με γινώσκεις; ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· Πρὸ
τοῦ σε Φίλιππον φωνῆσαι ὄντα ὑπὸ τὴν συκῆν εἶδόν σε. **49** ἀπεκρίθη ⸂αὐτῷ
Ναθαναήλ⸃· Ῥαββί, σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ, σὺ ⸂βασιλεὺς εἶ⸃ τοῦ Ἰσραήλ.
**50** ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· Ὅτι εἶπόν σοι ⸀ὅτι εἶδόν σε ὑποκάτω τῆς
συκῆς πιστεύεις; μείζω τούτων ⸀ὄψῃ. **51** καὶ λέγει αὐτῷ· Ἀμὴν ἀμὴν λέγω
⸀ὑμῖν, ὄψεσθε τὸν οὐρανὸν ἀνεῳγότα καὶ τοὺς ἀγγέλους τοῦ θεοῦ ἀναβαίνοντας
καὶ καταβαίνοντας ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου.

**2:1** Καὶ τῇ ⸂ἡμέρᾳ τῇ τρίτῃ⸃ γάμος ἐγένετο ἐν Κανὰ τῆς Γαλιλαίας,
καὶ ἦν ἡ μήτηρ τοῦ Ἰησοῦ ἐκεῖ· **2** ἐκλήθη δὲ καὶ ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ
αὐτοῦ εἰς τὸν γάμον. **3** καὶ ὑστερήσαντος οἴνου λέγει ἡ μήτηρ τοῦ Ἰησοῦ πρὸς
αὐτόν· Οἶνον οὐκ ἔχουσιν. **4** ⸀καὶ λέγει αὐτῇ ὁ Ἰησοῦς· Τί ἐμοὶ καὶ σοί, γύναι;

---

**1:39 ὄψεσθε. ἦλθαν οὖν** WH Treg NIV ] ἴδετε. ἦλθαν RP **41 πρῶτον** WH Treg NIV ] πρῶτος RP **42 ἤγαγεν** WH Treg NIV ] καὶ ἤγαγεν RP • **Ἰωάννου** WH Treg NIV ] Ἰωνᾶ RP **45 Ἰησοῦν** WH NIV ] + τὸν Treg RP **46 ὁ** WH Treg NIV ] – RP **47 ὁ** RP NIV ] – WH Treg **49 αὐτῷ Ναθαναήλ** WH Treg NIV ] Ναθαναὴλ καὶ λέγει αὐτῷ RP • **βασιλεὺς εἶ** WH Treg NIV ] εἶ ὁ βασιλεὺς RP **50 ὅτι** WH Treg NIV ] – RP • **ὄψῃ** WH Treg NIV ] ὄψει RP **51 ὑμῖν** WH Treg NIV ] + ἀπ' ἄρτι RP **2:1 ἡμέρᾳ τῇ τρίτῃ** WH NIV RP] τρίτῃ ἡμέρᾳ Treg **4 καὶ** WH Treg NIV ] – RP

οὔπω ἥκει ἡ ὥρα μου. **5** λέγει ἡ μήτηρ αὐτοῦ τοῖς διακόνοις· ⸂Ὅ τι⸃ ἂν λέγῃ
ὑμῖν ποιήσατε. **6** ἦσαν δὲ ἐκεῖ ⸂λίθιναι ὑδρίαι⸃ ἓξ ⸂κατὰ τὸν καθαρισμὸν
τῶν Ἰουδαίων κείμεναι⸃, χωροῦσαι ἀνὰ μετρητὰς δύο ἢ τρεῖς. **7** λέγει αὐτοῖς
ὁ Ἰησοῦς· Γεμίσατε τὰς ὑδρίας ὕδατος· καὶ ἐγέμισαν αὐτὰς ἕως ἄνω. **8** καὶ
λέγει αὐτοῖς· Ἀντλήσατε νῦν καὶ φέρετε τῷ ἀρχιτρικλίνῳ· ⸂οἱ δὲ⸃ ἤνεγκαν.
**9** ὡς δὲ ἐγεύσατο ὁ ἀρχιτρίκλινος τὸ ὕδωρ οἶνον γεγενημένον, καὶ οὐκ ᾔδει
πόθεν ἐστίν, οἱ δὲ διάκονοι ᾔδεισαν οἱ ἠντληκότες τὸ ὕδωρ, φωνεῖ τὸν νυμφίον
ὁ ἀρχιτρίκλινος **10** καὶ λέγει αὐτῷ· Πᾶς ἄνθρωπος πρῶτον τὸν καλὸν οἶνον
τίθησιν, καὶ ὅταν ⸀μεθυσθῶσιν τὸν ἐλάσσω· σὺ τετήρηκας τὸν καλὸν οἶνον ἕως
ἄρτι. **11** ταύτην ⸀ἐποίησεν ἀρχὴν τῶν σημείων ὁ Ἰησοῦς ἐν Κανὰ τῆς Γαλιλαίας
καὶ ἐφανέρωσεν τὴν δόξαν αὐτοῦ, καὶ ἐπίστευσαν εἰς αὐτὸν οἱ μαθηταὶ αὐτοῦ.

**12** Μετὰ τοῦτο κατέβη εἰς Καφαρναοὺμ αὐτὸς καὶ ἡ μήτηρ αὐτοῦ καὶ οἱ
⸀ἀδελφοὶ καὶ οἱ μαθηταὶ αὐτοῦ, καὶ ἐκεῖ ἔμειναν οὐ πολλὰς ἡμέρας.

**13** Καὶ ἐγγὺς ἦν τὸ πάσχα τῶν Ἰουδαίων, καὶ ἀνέβη εἰς Ἱεροσόλυμα
ὁ Ἰησοῦς. **14** καὶ εὗρεν ἐν τῷ ἱερῷ τοὺς πωλοῦντας βόας καὶ πρόβατα καὶ
περιστερὰς καὶ τοὺς κερματιστὰς καθημένους, **15** καὶ ποιήσας φραγέλλιον ἐκ
σχοινίων πάντας ἐξέβαλεν ἐκ τοῦ ἱεροῦ τά τε πρόβατα καὶ τοὺς βόας, καὶ
τῶν κολλυβιστῶν ἐξέχεεν ⸂τὰ κέρματα⸃ καὶ τὰς τραπέζας ⸀ἀνέστρεψεν, **16** καὶ
τοῖς τὰς περιστερὰς πωλοῦσιν εἶπεν· Ἄρατε ταῦτα ἐντεῦθεν, μὴ ποιεῖτε τὸν
οἶκον τοῦ πατρός μου οἶκον ἐμπορίου. **17** ⸀ἐμνήσθησαν οἱ μαθηταὶ αὐτοῦ ὅτι
γεγραμμένον ἐστίν· Ὁ ζῆλος τοῦ οἴκου σου καταφάγεταί με. **18** ἀπεκρίθησαν
οὖν οἱ Ἰουδαῖοι καὶ εἶπαν αὐτῷ· Τί σημεῖον δεικνύεις ἡμῖν, ὅτι ταῦτα ποιεῖς;
**19** ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· Λύσατε τὸν ναὸν τοῦτον καὶ ἐν τρισὶν
ἡμέραις ἐγερῶ αὐτόν. **20** εἶπαν οὖν οἱ Ἰουδαῖοι· Τεσσεράκοντα καὶ ἓξ ἔτεσιν
οἰκοδομήθη ὁ ναὸς οὗτος, καὶ σὺ ἐν τρισὶν ἡμέραις ἐγερεῖς αὐτόν; **21** ἐκεῖνος
δὲ ἔλεγεν περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ. **22** ὅτε οὖν ἠγέρθη ἐκ νεκρῶν,
ἐμνήσθησαν οἱ μαθηταὶ αὐτοῦ ὅτι τοῦτο ἔλεγεν, καὶ ἐπίστευσαν τῇ γραφῇ καὶ
τῷ λόγῳ ⸀ὃν εἶπεν ὁ Ἰησοῦς.

---

**2:5 Ὅ τι** Treg NIV RP ] Ὅτι WH **6 λίθιναι ὑδρίαι** WH Treg NIV ] ὑδρίαι λίθιναι RP • **κατὰ … Ἰουδαίων κείμεναι** WH Treg NIV ] κείμεναι κατὰ … Ἰουδαίων RP **8 οἱ δὲ** WH Treg NIV ] Καὶ RP **10 μεθυσθῶσιν** WH NIV ] + τότε Treg RP **11 ἐποίησεν** WH Treg NIV ] + τὴν RP **12 ἀδελφοὶ** WH Treg ] + αὐτοῦ NIV RP **15 τὰ κέρματα** WH Treg ] τὸ κέρμα NIV RP • **ἀνέστρεψεν** Treg RP ] ἀνέτρεψεν WH NIV **17 ἐμνήσθησαν** WH Treg NIV ] + δὲ RP **22 ὃν** WH Treg NIV ] ᾧ RP

**23** Ὡς δὲ ἦν ἐν τοῖς Ἱεροσολύμοις ἐν τῷ πάσχα ἐν τῇ ἑορτῇ, πολλοὶ
ἐπίστευσαν εἰς τὸ ὄνομα αὐτοῦ, θεωροῦντες αὐτοῦ τὰ σημεῖα ἃ ἐποίει·
**24** αὐτὸς ⸀δὲ Ἰησοῦς οὐκ ἐπίστευεν ⸀αὐτὸν αὐτοῖς διὰ τὸ αὐτὸν γινώσκειν
πάντας **25** καὶ ὅτι οὐ χρείαν εἶχεν ἵνα τις μαρτυρήσῃ περὶ τοῦ ἀνθρώπου, αὐτὸς
γὰρ ἐγίνωσκεν τί ἦν ἐν τῷ ἀνθρώπῳ.

**3:1** Ἦν δὲ ἄνθρωπος ἐκ τῶν Φαρισαίων, Νικόδημος ὄνομα αὐτῷ, ἄρχων
τῶν Ἰουδαίων· **2** οὗτος ἦλθεν πρὸς αὐτὸν νυκτὸς καὶ εἶπεν αὐτῷ· Ῥαββί,
οἴδαμεν ὅτι ἀπὸ θεοῦ ἐλήλυθας διδάσκαλος· οὐδεὶς γὰρ ⸂δύναται ταῦτα τὰ
σημεῖα⸃ ποιεῖν ἃ σὺ ποιεῖς, ἐὰν μὴ ᾖ ὁ θεὸς μετ’ αὐτοῦ. **3** ⸀ἀπεκρίθη Ἰησοῦς
καὶ εἶπεν αὐτῷ· Ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἄνωθεν, οὐ δύναται
ἰδεῖν τὴν βασιλείαν τοῦ θεοῦ. **4** λέγει πρὸς αὐτὸν ⸀ὁ Νικόδημος· Πῶς δύναται
ἄνθρωπος γεννηθῆναι γέρων ὤν; μὴ δύναται εἰς τὴν κοιλίαν τῆς μητρὸς αὐτοῦ
δεύτερον εἰσελθεῖν καὶ γεννηθῆναι; **5** ⸀ἀπεκρίθη Ἰησοῦς· Ἀμὴν ἀμὴν λέγω
σοι, ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς
τὴν βασιλείαν τοῦ θεοῦ. **6** τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστιν, καὶ τὸ
γεγεννημένον ἐκ τοῦ πνεύματος πνεῦμά ἐστιν. **7** μὴ θαυμάσῃς ὅτι εἶπόν σοι
Δεῖ ὑμᾶς γεννηθῆναι ἄνωθεν. **8** τὸ πνεῦμα ὅπου θέλει πνεῖ, καὶ τὴν φωνὴν
αὐτοῦ ἀκούεις, ἀλλ’ οὐκ οἶδας πόθεν ἔρχεται καὶ ποῦ ὑπάγει· οὕτως ἐστὶν πᾶς
ὁ γεγεννημένος ἐκ τοῦ πνεύματος. **9** ἀπεκρίθη Νικόδημος καὶ εἶπεν αὐτῷ·
Πῶς δύναται ταῦτα γενέσθαι; **10** ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· Σὺ εἶ ὁ
διδάσκαλος τοῦ Ἰσραὴλ καὶ ταῦτα οὐ γινώσκεις; **11** ἀμὴν ἀμὴν λέγω σοι ὅτι ὃ
οἴδαμεν λαλοῦμεν καὶ ὃ ἑωράκαμεν μαρτυροῦμεν, καὶ τὴν μαρτυρίαν ἡμῶν οὐ
λαμβάνετε. **12** εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν καὶ οὐ πιστεύετε, πῶς ἐὰν εἴπω ὑμῖν
τὰ ἐπουράνια πιστεύσετε; **13** καὶ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν εἰ μὴ ὁ ἐκ
τοῦ οὐρανοῦ καταβάς, ὁ υἱὸς τοῦ ⸀ἀνθρώπου. **14** καὶ καθὼς Μωϋσῆς ὕψωσεν
τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου, **15** ἵνα πᾶς ὁ
πιστεύων ⸂ἐν αὐτῷ⸃ ἔχῃ ζωὴν αἰώνιον.

---

**2:24 δὲ** WH Treg NIV ] + ὁ RP • **αὐτὸν** WH ] αὑτὸν Treg NIV; ἑαυτὸν RP **3:2 δύναται ταῦτα τὰ σημεῖα** WH Treg NIV ] ταῦτα τὰ σημεῖα δύναται RP **3 ἀπεκρίθη** WH Treg NIV ] + ὁ RP **4 ὁ** WH NIV RP ] – Treg **5 ἀπεκρίθη** NIV RP ] + ὁ WH Treg **13 ἀνθρώπου** WH NIV ] + ὁ ὢν ἐν τῷ οὐρανῷ Treg RP **15 ἐν αὐτῷ** WH Treg NIV ] εἰς αὐτὸν μὴ ἀπόληται ἀλλ’ RP

**16** Οὕτως γὰρ ἠγάπησεν ὁ θεὸς τὸν κόσμον ὥστε τὸν ⸀υἱὸν τὸν μονογενῆ
ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται ἀλλὰ ἔχῃ ζωὴν αἰώνιον.
**17** οὐ γὰρ ἀπέστειλεν ὁ θεὸς τὸν ⸀υἱὸν εἰς τὸν κόσμον ἵνα κρίνῃ τὸν κόσμον,
ἀλλ’ ἵνα σωθῇ ὁ κόσμος δι’ αὐτοῦ. **18** ὁ πιστεύων εἰς αὐτὸν οὐ κρίνεται· ὁ ⸀δὲ
μὴ πιστεύων ἤδη κέκριται, ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα τοῦ μονογενοῦς
υἱοῦ τοῦ θεοῦ. **19** αὕτη δέ ἐστιν ἡ κρίσις ὅτι τὸ φῶς ἐλήλυθεν εἰς τὸν κόσμον
καὶ ἠγάπησαν οἱ ἄνθρωποι μᾶλλον τὸ σκότος ἢ τὸ φῶς, ἦν γὰρ ⸂αὐτῶν πονηρὰ⸃
τὰ ἔργα. **20** πᾶς γὰρ ὁ φαῦλα πράσσων μισεῖ τὸ φῶς καὶ οὐκ ἔρχεται πρὸς τὸ
φῶς, ἵνα μὴ ἐλεγχθῇ τὰ ἔργα αὐτοῦ· **21** ὁ δὲ ποιῶν τὴν ἀλήθειαν ἔρχεται πρὸς
τὸ φῶς, ἵνα φανερωθῇ αὐτοῦ τὰ ἔργα ὅτι ἐν θεῷ ἐστιν εἰργασμένα.

**22** Μετὰ ταῦτα ἦλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὴν Ἰουδαίαν
γῆν, καὶ ἐκεῖ διέτριβεν μετ’ αὐτῶν καὶ ἐβάπτιζεν. **23** ἦν δὲ καὶ ⸀ὁ Ἰωάννης
βαπτίζων ἐν Αἰνὼν ἐγγὺς τοῦ Σαλείμ, ὅτι ὕδατα πολλὰ ἦν ἐκεῖ, καὶ
παρεγίνοντο καὶ ἐβαπτίζοντο· **24** οὔπω γὰρ ἦν βεβλημένος εἰς τὴν φυλακὴν
⸀ὁ Ἰωάννης.

**25** Ἐγένετο οὖν ζήτησις ἐκ τῶν μαθητῶν Ἰωάννου μετὰ Ἰουδαίου περὶ
καθαρισμοῦ. **26** καὶ ἦλθον πρὸς τὸν Ἰωάννην καὶ εἶπαν αὐτῷ· Ῥαββί, ὃς ἦν
μετὰ σοῦ πέραν τοῦ Ἰορδάνου, ᾧ σὺ μεμαρτύρηκας, ἴδε οὗτος βαπτίζει καὶ
πάντες ἔρχονται πρὸς αὐτόν. **27** ἀπεκρίθη Ἰωάννης καὶ εἶπεν· Οὐ δύναται
ἄνθρωπος λαμβάνειν ⸂οὐδὲ ἓν⸃ ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ.
**28** αὐτοὶ ὑμεῖς ⸀μοι μαρτυρεῖτε ὅτι ⸀εἶπον· Οὐκ εἰμὶ ἐγὼ ὁ χριστός, ἀλλ’ ὅτι
Ἀπεσταλμένος εἰμὶ ἔμπροσθεν ἐκείνου. **29** ὁ ἔχων τὴν νύμφην νυμφίος ἐστίν· ὁ
δὲ φίλος τοῦ νυμφίου ὁ ἑστηκὼς καὶ ἀκούων αὐτοῦ, χαρᾷ χαίρει διὰ τὴν φωνὴν
τοῦ νυμφίου. αὕτη οὖν ἡ χαρὰ ἡ ἐμὴ πεπλήρωται. **30** ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ
δὲ ἐλαττοῦσθαι.

**31** Ὁ ἄνωθεν ἐρχόμενος ἐπάνω πάντων ἐστίν. ὁ ὢν ἐκ τῆς γῆς ἐκ τῆς γῆς
ἐστιν καὶ ἐκ τῆς γῆς λαλεῖ· ὁ ἐκ τοῦ οὐρανοῦ ἐρχόμενος ἐπάνω πάντων ἐστίν·
**32** ⸀ὃ ἑώρακεν καὶ ἤκουσεν τοῦτο μαρτυρεῖ, καὶ τὴν μαρτυρίαν αὐτοῦ οὐδεὶς
λαμβάνει. **33** ὁ λαβὼν αὐτοῦ τὴν μαρτυρίαν ἐσφράγισεν ὅτι ὁ θεὸς ἀληθής

---

**3:16 υἱὸν** WH NIV ] + αὐτοῦ Treg RP **17 υἱὸν** WH NIV ] + αὐτοῦ Treg RP **18 δὲ** Treg NIV RP ] – WH **19 αὐτῶν πονηρὰ** WH Treg NIV ] πονηρὰ αὐτῶν RP **23 ὁ** WH NIV ] – Treg RP **24 ὁ** Treg NIV RP ] – WH **27 οὐδὲ ἓν** NIV ] οὐδὲν WH Treg RP **28 μοι** WH Treg NIV ] – RP • **εἶπον** Treg RP ] + ἐγώ WH; + ὅτι NIV **32 ὃ** WH Treg NIV] καὶ ὃ RP

ἐστιν. **34** ὃν γὰρ ἀπέστειλεν ὁ θεὸς τὰ ῥήματα τοῦ θεοῦ λαλεῖ, οὐ γὰρ ἐκ
μέτρου ⸀δίδωσιν τὸ πνεῦμα. **35** ὁ πατὴρ ἀγαπᾷ τὸν υἱόν, καὶ πάντα δέδωκεν ἐν
τῇ χειρὶ αὐτοῦ. **36** ὁ πιστεύων εἰς τὸν υἱὸν ἔχει ζωὴν αἰώνιον· ὁ δὲ ἀπειθῶν τῷ
υἱῷ οὐκ ὄψεται ζωήν, ἀλλʼ ἡ ὀργὴ τοῦ θεοῦ μένει ἐπʼ αὐτόν.

**4:1** Ὡς οὖν ἔγνω ὁ ⸀Ἰησοῦς ὅτι ἤκουσαν οἱ Φαρισαῖοι ὅτι Ἰησοῦς
πλείονας μαθητὰς ποιεῖ καὶ βαπτίζει ἢ Ἰωάννης— **2** καίτοιγε Ἰησοῦς αὐτὸς
οὐκ ἐβάπτιζεν ἀλλʼ οἱ μαθηταὶ αὐτοῦ— **3** ἀφῆκεν τὴν Ἰουδαίαν καὶ ἀπῆλθεν
⸀πάλιν εἰς τὴν Γαλιλαίαν. **4** ἔδει δὲ αὐτὸν διέρχεσθαι διὰ τῆς Σαμαρείας.
**5** ἔρχεται οὖν εἰς πόλιν τῆς Σαμαρείας λεγομένην Συχὰρ πλησίον τοῦ χωρίου
ὃ ἔδωκεν Ἰακὼβ ⸀τῷ Ἰωσὴφ τῷ υἱῷ αὐτοῦ· **6** ἦν δὲ ἐκεῖ πηγὴ τοῦ Ἰακώβ. ὁ
οὖν Ἰησοῦς κεκοπιακὼς ἐκ τῆς ὁδοιπορίας ἐκαθέζετο οὕτως ἐπὶ τῇ πηγῇ· ὥρα
ἦν ⸀ὡς ἕκτη.

**7** Ἔρχεται γυνὴ ἐκ τῆς Σαμαρείας ἀντλῆσαι ὕδωρ. λέγει αὐτῇ ὁ Ἰησοῦς·
Δός μοι πεῖν· **8** οἱ γὰρ μαθηταὶ αὐτοῦ ἀπεληλύθεισαν εἰς τὴν πόλιν, ἵνα τροφὰς
ἀγοράσωσιν. **9** λέγει οὖν αὐτῷ ἡ γυνὴ ἡ Σαμαρῖτις· Πῶς σὺ Ἰουδαῖος ὢν παρʼ
ἐμοῦ πεῖν αἰτεῖς ⸂γυναικὸς Σαμαρίτιδος οὔσης⸃; οὐ γὰρ συγχρῶνται Ἰουδαῖοι
Σαμαρίταις. **10** ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῇ· Εἰ ᾔδεις τὴν δωρεὰν τοῦ θεοῦ
καὶ τίς ἐστιν ὁ λέγων σοι· Δός μοι πεῖν, σὺ ἂν ᾔτησας αὐτὸν καὶ ἔδωκεν ἄν σοι
ὕδωρ ζῶν. **11** λέγει αὐτῷ ⸂ἡ γυνή⸃· Κύριε, οὔτε ἄντλημα ἔχεις καὶ τὸ φρέαρ
ἐστὶν βαθύ· πόθεν οὖν ἔχεις τὸ ὕδωρ τὸ ζῶν; **12** μὴ σὺ μείζων εἶ τοῦ πατρὸς
ἡμῶν Ἰακώβ, ὃς ἔδωκεν ἡμῖν τὸ φρέαρ καὶ αὐτὸς ἐξ αὐτοῦ ἔπιεν καὶ οἱ υἱοὶ
αὐτοῦ καὶ τὰ θρέμματα αὐτοῦ; **13** ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῇ· Πᾶς ὁ
πίνων ἐκ τοῦ ὕδατος τούτου διψήσει πάλιν· **14** ὃς δʼ ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ
ἐγὼ δώσω αὐτῷ, οὐ μὴ ⸀διψήσει εἰς τὸν αἰῶνα, ἀλλὰ τὸ ὕδωρ ὃ δώσω αὐτῷ
γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον. **15** λέγει πρὸς
αὐτὸν ἡ γυνή· Κύριε, δός μοι τοῦτο τὸ ὕδωρ, ἵνα μὴ διψῶ μηδὲ ⸀διέρχωμαι
ἐνθάδε ἀντλεῖν.

---

**3:34** **δίδωσιν** WH NIV ] + ὁ θεὸς Treg RP **4:1** **Ἰησοῦς** Holmes NA ] κύριος WH Treg NIV RP **3** **πάλιν** WH Treg NIV ] – RP **5** **τῷ** WH NIV ] – Treg RP **6** **ὡς** WH Treg NIV ] ὡσεὶ RP **9** **γυναικὸς Σαμαρίτιδος οὔσης** WH Treg NIV ] οὔσης γυναικὸς Σαμαρείτιδος RP **11** **ἡ γυνή** Treg NIV RP ] – WH **14** **διψήσει** WH Treg NIV ] διψήσῃ RP **15** **διέρχωμαι** WH NIV ] ἔρχωμαι Treg; ἔρχομαι RP